[illegible]

[illegible]

μς Ἀπὸ τῆς δοθείσης εὐθείας τετράγωνον ἀναγράψαι. [illegible]

[illegible]

τῇ ΑΒ εὐθείᾳ πρὸς ὀρθὰς [illegible] καὶ κείσθω
τῇ ΑΒ ἴση ἡ ΑΔ· καὶ διὰ μὲν τοῦ Δ σημείου τῇ ΑΒ πα-
ράλληλος ἤχθω ἡ ΔΕ· διὰ δὲ τοῦ Β σημείου τῇ ΑΔ πα-
ράλληλος ἤχθω ἡ ΒΕ· παραλληλόγραμμον ἄρα ἐστὶ τὸ
ΑΔΕΒ· ἴση ἄρα ἐστὶν ἡ μὲν ΑΒ τῇ ΔΕ· ἡ δὲ ΑΔ τῇ ΒΕ·
ἀλλὰ ἡ ΑΒ τῇ ΑΔ ἐστιν ἴση· αἱ τέσσαρες ἄρα αἱ ΒΑ ΑΔ
ΔΕ ΕΒ ἴσαι ἀλλήλαις εἰσίν· ἰσόπλευρον ἄρα ἐστὶ τὸ
παραλληλόγραμμον. λέγω δὴ ὅτι καὶ ὀρθογώνιον. ἐπεὶ
γὰρ εἰς παραλλήλους [illegible] ΑΒ ΔΕ εὐθεῖα [illegible]
ἡ ΑΔ· αἱ ἄρα ὑπὸ ΒΑΔ ΑΔΕ γω-
νίαι δυσὶν ὀρθαῖς ἴσαι εἰ-
σίν· ὀρθὴ δὲ ἡ ὑπὸ ΒΑΔ·
ὀρθὴ ἄρα καὶ ἡ ὑπὸ ΑΔΕ·
τῶν δὲ παραλληλογράμ-
μων χωρίων αἱ ἀπεναντίον
πλευραί τε καὶ γωνίαι

[illegible]

ἴσαι ἀλλήλαις εἰσίν· ὀρθὴ ἄρα καὶ ἑκατέρα τῶν ἀπεναντίον
τῶν ὑπὸ ΑΒΕ ΒΕΔ γωνιῶν· ὀρθογώνιον ἄρα ἐστὶ τὸ ΑΔΕΒ·
ἐδείχθη δὲ καὶ ἰσόπλευρον· τετράγωνον ἄρα ἐστί· καί ἐστιν ἀ-
πὸ τῆς ΑΒ εὐθείας ἀναγεγραμμένον. ὅπερ ἔδει ποιῆσαι:

μζ Ἐν τοῖς ὀρθογωνίοις τριγώνοις τὸ ἀπὸ τῆς τὴν ὀρθὴν
γωνίαν ὑποτεινούσης πλευρᾶς τετράγωνον. ἴσον ἐστὶ
τοῖς ἀπὸ τῶν τὴν ὀρθὴν γωνίαν περιεχουσῶν πλευρῶν
τετραγώνοις· ἔστω τρίγωνον ὀρθογώνιον τὸ ΑΒΓ ὀρθὴν
ἔχον τὴν ὑπὸ ΒΑΓ γωνίαν· λέγω ὅτι τὸ ἀπὸ τῆς ΒΓ τετρά-
γωνον, ἴσον ἐστὶ τοῖς ἀπὸ τῶν ΒΑ ΑΓ τετραγώνοις· ἀνα-
γεγράφθω γὰρ ἀπὸ μὲν τῆς ΒΓ τετράγωνον τὸ ΒΔΕΓ· ἀ-
πὸ δὲ τῶν ΒΑ ΑΓ τὰ ΗΒ ΘΓ· καὶ διὰ τοῦ Α ὁποτέρᾳ τῶν
ΒΔ ΓΕ· παράλληλος ἤχθω ἡ ΑΛ· καὶ ἐπεζεύχθωσαν αἱ ΑΔ
ΖΓ· καὶ ἐπεὶ ὀρθή ἐστιν ἑκατέρα τῶν ὑπὸ ΒΑΓ ΒΑΗ γωνιῶν·
πρὸς δή τινι εὐθείᾳ τῇ ΒΑ καὶ τῷ πρὸς αὐτῇ σημείῳ τῷ
Α. δύο εὐθεῖαι αἱ ΑΓ ΑΗ μὴ ἐπὶ τὰ αὐτὰ μέρη κείμεναι τὰς
ἐφεξῆς γωνίας δυσὶν ὀρθαῖς ἴσας ποιοῦσιν· ἐπ' εὐθεί-
ας ἄρα ἐστὶν ἡ ΓΑ τῇ ΑΗ
διὰ τὰ αὐτὰ δὴ καὶ ἡ ΒΑ τῇ
ΑΘ ἐστιν ἐπ' εὐθείας. καὶ
ἐπεὶ ἴση ἐστὶν ἡ ὑπὸ ΔΒΓ
γωνία τῇ ὑπὸ ΖΒΑ·
ὀρθὴ γὰρ ἑκατέρα· κοι-
νὴ προσκείσθω ἡ ὑπὸ
ΑΒΓ· ὅλη ἄρα ἡ ὑπὸ ΔΒΑ
ὅλῃ τῇ ὑπὸ ΖΒΓ ἐστὶν



BIBLIOTHECA BODLEIANA

[illegible]

EUCLID *Elementa* BYZANTINE, 888 THE BODLEIAN LIBRARY Octavo